Ακαδημία Αθηνών / Academy of Athens

**εὐπετείη.** Εὐκολία/ἔλλειψη μόχθου, easiness/without toil, Δημόκριτος 178 *πάντων κάκιστον ἡ εὐπετείη παιδεῦσαι τὴν νεότητα.* Πρβλ. *εὐπετές.*

**εὐπετές** *(ἐστί)* (συνών. *εὔπορον*). Εἶναι εὔκολο, it is easy, Δημόκριτος 253.7 *συγγινώσκεσθαι δὲ τοὺς ἀνθρώπους οὐκ εὐπετές.*

**εὐπορίη 1.** Εὐκολία περάσματος, easy of passage, Ἐμπεδοκλῆς 100.5 *αἰθέρι δ' εὐπορίην διόδοισι τετμῆσθαι* **2** (ἀντίθ. *πενίη, ἀπορίη*). Εὐπορία/εὐμάρεια, wealth/abundance of means, Δημόκριτος 101 *ἐπὴν ἐξ εὐπορίης εἰς πενίην μεταπέσωσιν.*

**εὔπορον** *(ἐστί)* (ἀντίθ. *ἄπορον*). Εἶναι προσιτὸ/ἐφικτό, it is easy to reach/possible, Δημόκριτος 106 *ἐν εὐτυχίῃ φίλον εὑρεῖν εὔπορον* Ἀρχύτας 3.5 *ἐξευρεῖν δὲ μὴ ζατοῦντα ἄπορον καὶ σπάνιον, ζατοῦντα δὲ εὔπορον καὶ ῥάδιον.* Πρβλ. *ῥάδιον, εὐπετές.*

**εὐπόρως.** Ὀρθὰ/εὔστοχα, correctly/precisely, Δημόκριτος 173.3 *ὀχεῖν εὐπόρως.*

**εὐπρεπής.** Εὐπρεπισμένος/καλλωπισμένος, adorned/embellished, Ξενοφάνης 3.5 *χαίτῃσιν ... εὐπρεπέεσιν.*

**εὑρίσκειν 1.** Εὑρίσκω, find, Ἡράκλειτος 22 *χρυσὸν γὰρ οἱ διζήμενοι γῆν πολλὴν ὀρύσσουσι καὶ εὑρίσκουσιν ὀλίγον* Παρμενίδης 8.36 *οὐ γὰρ ἄνευ τοῦ ἐόντος, ἐν ᾧ πεφατισμένον ἐστιν, εὑρήσεις τὸ νοεῖν* Ἐμπεδοκλῆς 2.6 *ἕκαστος πάντοσ' ἐλαυνόμενοι, τὸ δ' ὅλον <πᾶς> εὔχεται εὑρεῖν* Διογένης 3.5 *εἴ τις βούλεται ἐννοεῖσθαι, εὑρίσκοι ἂν* Δημόκριτος 106 *ἐν εὐτυχίῃ φίλον εὑρεῖν εὔπορον* 118 *βούλεσθαι μᾶλλον μίαν εὑρεῖν αἰτιολογίαν ἢ τὴν Περσῶν οἱ βασιλείαν γενέσθαι* Ἀρχύτας 3.8 *στάσιν μὲν ἔπαυσεν, ὁμόνοιαν δὲ αὔξησεν λογισμὸς εὑρεθείς* **2.** Ἐπινοῶ, invent, Δημόκριτος 172 *μηχανὴ οὖν εὑρέθη, νήχεσθαι διδάσκειν.* Πρβλ. *ἐφευρίσκειν.*

**εὖρος** (συνών. *πλάτος*). Πλάτος, width, Ἡράκλειτος 3 *εὖρος*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ